ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ

# ΙΕΡΑ ΕΠΑΡΧΙΑΚΗ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΚΡΗΤΗΣ

## Εἰδική Δέησις

## διά τήν προστασίαν

## ἐκ τῆς Λοιμικῆς Νόσου τοῦ κορωνοϊοῦ

*(Συνάπτεται πρό τῆς Ἀπολύσεως τῆς Θείας Λειτουργίας)*

**Ὁ Ἱερεύς·** Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου, δεόμεθά Σου ἐπάκουσον καί ἐλέησον.

**Ὁ Λαός·** *Κύριε, ἐλέησον (τρίς).*

**Ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί Ὀρθοδόξων Χριστιανῶν.

**Ὁ Λαός·** *Κύριε, ἐλέησον (τρίς).*

**Ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν.... καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

**Ὁ Λαός·** *Κύριε, ἐλέησον (τρίς).*

**Ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ.

**Ὁ Λαός·** *Κύριε, ἐλέησον (τρίς).*

**Ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν ἀσθενούντων ἐκ τῆς πανδημίας ταύτης καί ὑπέρ ἀναρρώσεως αὐτῶν.

**Ὁ Λαός·** *Κύριε, ἐλέησον (τρίς).*

**Ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ ἐνισχύσεως καί διαφυλάξεως τῶν Ἰατρῶν, τῶν Νοσηλευτῶν καί πάντων τῶν διακονούντων εἰς τόν χῶρον τῆς ὑγείας.

**Ὁ Λαός·** *Κύριε, ἐλέησον (τρίς).*

**Ὁ Ἱερεύς·** Ἔτι δεόμεθα ὑπέρ μακαρίας μνήμης καί αἰωνίου ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ, τῶν ἐκ τῆς πανδημίας τελειωθέντων καί ὑπέρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καί ἀκούσιον.

**Ὁ Λαός·** *Αἰωνία ἡ μνήμη (τρίς).*

**Ὁ Ἱερεύς·** Ἔτι δεόμεθα καί ὑπέρ τοῦ εἰσακοῦσαι Κύριον τόν Θεόν, φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καί ἐλεῆσαι ἡμᾶς.

**Ὁ Λαός·** *Κύριε, ἐλέησον.*

**Ὁ Ἱερεύς·** Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπίς πάντων τῶν περάτων τῆς γῆς καί τῶν ἐν θαλάσσῃ μακράν, καί ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπί ταῖς ἁμαρτίαις ἡμῶν, καί ἐλέησον ἡμᾶς.Ἐλεήμων γάρ καί φιλάνθρωπος Θεός ὑπάρχεις καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

**Ὁ Λαός·** *Ἀμήν.*

**Ὁ Ἱερεύς·** Τοῦ Κυρίου δεηθῶμεν.

***Ὁ Λαός:*** *Κύριε, ἐλέησον.*

**Ὁ Ἱερεύς:** Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, μακρόθυμε καί πολυέλεε, ὁ διά τήν πολλήν Σου ἀγαθότητα ποιήσας τόν ἄνθρωπον κατ' εἰκόνα Σήν καί ὁμοίωσιν, καί θεοειδοῦς ἀγωγῆς καί ὁμιλίας ὑπερφυῶς κατηξιώσας αὐτόν, ὁ ἰατρός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν πρόσχες καί νῦν ἐπί τήν δέησιν ἡμῶν τῶν ἁμαρτωλῶν καί ἀναξίων δούλων Σου· ῥῦσαι ἡμᾶς ἀπό τῆς ἐπελθούσης ἐν τῷ κόσμῳ λοιμικῆς ἀπειλῆς διά τάς ἁμαρτίας

ἡμῶν· νόσος γάρ ἐνέσκηψε δεινή καί φόβος θανάτου ἐκύκλωσεν ἡμᾶς. Πλεῖστοι ἠσθένησαν καί ἱκανοί ἐκ τοῦ λοιμοῦ ἐκοιμήθησαν καί οὐκ ἔστιν ἄλλος ὁ λυτρούμενος ἡμᾶς πλήν Σου, Κύριε.

Γνωρίζομεν, ἀγαθέ καί φιλάνθρωπε, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν καί πᾶσαν ἁμαρτίαν ἐπιμελῶς καθ' ἑκάστην διενεργοῦμεν, γιγνώσκοντες ὅτι πρός νουθεσίαν ἡμῶν ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς· ἀλλά νῦν ἐπιστρέφοντες ἐν μετανοίᾳ καί συντριβῇ καρδίας παρακαλοῦντες, κραυγάζομεν· τήν ἀπειλήν τοῦ λοιμοῦ ἀνάστειλον, Κύριε, καί πάντα τόν λαόν Σου ὡς οἰκτίρμων θεράπευσον· τούς δέ θανόντας ἀδελφούς ἡμῶν ἐν ταῖς σκηναῖς σου ἀνάπαυσον. Εἰρήνην τῇ οἰκουμένῃ δώρησαι, ἵνα γνῶσι πάντες ὅτι Σύ εἶ ὁ Θεός ἡμῶν, Θεός τοῦ ἐλεεῖν καί σώζειν καί οἱ πιστεύοντες εἰς Σέ οὐ φοβηθήσονται θάνατον, ἀλλά χαρᾷ γεύονται τῆς ἀθανάτου ζωῆς.

Ὅτι Σύ εἶ ἡ ἐλπίς ἡμῶν καί εἰς χεῖράς Σου ἡ ζωή ἡμῶν ἅπασα καί Σοί τήν δόξαν καί εὐχαριστίαν ἀναπέμπομεν σύν τῷ ἀνάρχῳ Σου Πατρί καί τῷ Παναγίῳ καί Ἀγαθῷ καί Ζωοποιῷ Σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

***Ὁ Λαός:*** Ἀμήν.

***Ὁ Ἱερεύς ποιεῖ τήν Ἀπόλυσιν τῆς Θείας Λειτουργίας.***